Πρώτοις ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι A
Ἔργον πλεῖστον. εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
Ἡττηθεὶς οὐκ ἄξιος ὤν. ταῦτ' οὖν ὑμῖν μέμφομαι
Τοῖς σοφοῖς, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην.
Ἀλλ' οὐδ' ὣς ὑμῶν ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς. B
Ἐξ ὅτου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν,
Χ' ὡ σώφρων τε χ' ὡ καταπύγων, ἄριστ' ἠκουσάτην,
Κἀγώ, παρθένος γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πώ μοι τεκεῖν,
Ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο, C
Ὑμεῖς δ' ἐξεθρέψατε γενναίως, κἀπαιδεύσατε,
Ἐκ τούτου μοι πιστὰ παρ' ὑμῶν γνώμης ἔσθ' ὅρκια.
Νῦν οὖν Ἠλέκτραν κατ' ἐκείνην ἥδ' ἡ κωμῳδία
Ζητοῦσ' ἦλθεν ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς. D
Γνώσεται γὰρ ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
Ὡς δὲ σώφρων ἐστὶ φύσει, σκέψασθ'. ἥτις πρῶτα μὲν
Οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον.
Ἐρυθρὸν ἐξ ἄκρου, παχύ. τοῖς παιδίοις ἵν' ᾖ γέλως. E

*Vtique vos primum rogaui, vti gustetis hanc, mihi*
*Quæ multum fecit negoti. Post secessi à viris*
*Victus sordidis indignè: quod nunc vobis queror,*
*Qui hic adestis sapientes, & quorum hæc ego gratia*
*Commentatus sum: non vt vos volens prodam bonos.*
*Ex quo enim hic apud viros, quibus est suaue dicere,*
*Et apud quos Cinædus & Castus optimè audiunt:*
*Et ego (nanque adhuc eram virgo, nec licebat mihi*
*Parere) exposui fœtum: quem quæpiam alia sustulit.*
*Vos autem educastis ingenuè, atque instituistis probè:*
*Ex hoc fida apud vos sunt sententiæ testimonia.*
*Nunc ergo secundum Electram illam isthæc Comœdia*
*Quæritans venit, si fortè in spectatores bonos*
*Incidat: (nam cincinnum si videat fratris, statim*
*Agnoscet) sed quàm sit hæc casta, vos cognoscite.*
*Primùm non venit aliquid consuens coriacium,*
*Rubrum, humile, à summo densum: vt sit pueris risui: neque*

Σχόλια. Ἀναγεῦσ' ὑμᾶς.] διατάξαι τὸ δρᾶμα. ὡς ἐπὶ βρώματος δὲ εἶπεν. Ὑπ' ἀνδρῶν.] τῶν κριτῶν τοῦτο ἐπὶ τῶν προτέρων νεφελῶν. Ταῦτ' οὖν ὑμῖν μέμφομαι.] ἐπεὶ οὐ Κρατίνου ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη. Οἷς ἡδὺ καὶ λέγειν.] εἰς τὸ ἐμὲ ἐπιδείκνυσθαι ἡδύ ἐστιν ἢ ἐλλογίμοις. Χ' ὡ σώφρων] τὸ πρῶτον δρᾶμα γράψας ὁ ποιητὴς ἐξέθηκε τοὺς δαιταλεῖς, ἐν ᾧ σώφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. εὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. Ἄριστ' ἠκουσάτην.] ἀντὶ τοῦ ηὐδοκιμησάτην. οὐ γὰρ τότε ἐνίκησεν. ἐπεὶ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. διόπερ, ἔστι μὲν αὐτὸ πρῶτον τῶν δραμάτων. ὑπὸ δὲ αἰδοῦς οὐ δι' ἑαυτοῦ ἐπεδείξατο αὐτό. Κοὐκ ἐξῆν πώ μοι.] οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν δημοσίᾳ διὰ τὸ νέον τῆς ἡλικίας. οὐ γὰρ πρῶτον δι' ἑαυτοῦ καθίει τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος. ἀπὸ δὲ τῶν ἱππέων ἤρξατο εἰσιέναι. νόμος δὲ ἦν μὴ εἰσελθεῖν τινα εἰπεῖν μήπω τεσσαράκοντα ἔτη γεγονότα. ὡς δέ τινες τριάκοντα. Ἐξέθηκα.] ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν. καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵν' ἰδών τις ἀνέλοιτο. Εὐριπίδης. δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος. λέγει οὖν Ἀριστοφάνης ὡς ἐπειδὴ παρανόμως ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα. Παῖς δ' ἑτέρα.] Κλεωνίδης καὶ Καλλίστρατος. οὐ γὰρ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς δαιταλεῖς πρῶτον αὐτοῦ δρᾶμα. τὸ ἀνείλετο λαβοῦσα ἢ ἐκ παραλλήλου ὡς τὸ ἀγνεύσας ἐκάθηρεν, ἢ τὸ μὲν λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν. τὸ δὲ ἀνείλετο διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. Πιστὰ παρ' ὑμῖν.] ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων. Νῦν οὖν Ἠλέκτραν.] Αἰσχύλος ἐποίησε δρᾶμα Χοηφόρους. ἐν ᾧ Ἠλέκτρα παραγινομένη εἰς τὸν τάφον τοῦ πατρός, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. αὕτη φησὶν ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης, ὡς ἐν τοῖς Χοηφόροις Αἰσχύλου Ἠλέκτρα ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐπιγνοῦσα καὶ παραγινομένον πρὸς τὸν τάφον ὅπως αὐτὸν γνωρίσῃ ἦλθεν, εἰς ζήτησιν ἦλθε τῶν τότε θεατῶν. ἐπιγνώσεται γὰρ ἐάν τι ξύμβολον ἴδῃ ἐκείνων. Ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρί, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου. εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητὴς ὅτι εἰ ἐπαινεθήσεται παρ' ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Τἀδελφοῦ τὸν βόστρυχον.] ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται ἐὰν ἴδῃ. Οὐδὲν ἦλθε.] παρέλκει τὸ δὲ ὡς καὶ παρ' Ὁμήρῳ. οὐδέν ἐστι σε. θέλει δὲ εἰπεῖν οὐκ ἦλθε συνήθως. Σκύτινον.] διεζωσμένοι γὰρ δερμάτινα αἰδοῖα οἱ κωμικοὶ εἰσῄεσαν τοῦ γέλωτος χάριν. θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. Ἐρυθρόν.] ἢ ἐρυθρὸν ἐξ ἄκρου ἢ ἐξ ἄκρου παχύ. ταῦτα γὰρ οἱ κωμικοὶ εἰσῆγον διὰ γέλωτα.